# Jude

## Ἰούδα

1 Ἰούδας Emb Ἰησοῦ Χριστοῦ Emb δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου,
3 τοῖς Emb ἐν θεῷ πατρὶ Emb ἠγαπημένοις
4 καὶ Ἰησοῦ Χριστῷ Emb τετηρημένοις κλητοῖς·
2 ἔλεος ὑμῖν Split καὶ εἰρήνη καὶ ἀγάπη Split πληθυνθείη.
3 Ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος
3 γράφειν ὑμῖν περὶ τῆς Emb κοινῆς ἡμῶν σωτηρίας
ἀνάγκην ἔσχον γράψαι ὑμῖν
3 παρακαλῶν
4 ἐπαγωνίζεσθαι τῇ Emb ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις Emb πίστει.
2 4 παρεισέδυσαν γάρ τινες ἄνθρωποι,
4 App οἱ πάλαι προγεγραμμένοι
5 Th+ εἰς τοῦτο τὸ κρίμα, Th+ ἀσεβεῖς, App
3 τὴν τοῦ θεοῦ ἡμῶν Emb χάριτα μετατιθέντες εἰς ἀσέλγειαν
3 καὶ τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι.
5 Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι,
4 εἰδότας [ὑμᾶς] πάντα
ὅτι Top [ὁ] κύριος Top Sit ἅπαξ λαὸν ἐκ γῆς Αἰγύπτου σώσας
Sit τὸ δεύτερον Sit τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν,
6 Top ἀγγέλους τε Top τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν
3 ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον Top
εἰς κρίσιν μεγάλης ἡμέρας
3 * Emb δεσμοῖς ἀϊδίοις Emb ὑπὸ ζόφον * τετήρηκεν,
7 ὡς Top Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις Top
Emb τὸν ὅμοιον τρόπον τούτοις Emb ἐκπορνεύσασαι
καὶ ἀπελθοῦσαι ὀπίσω σαρκὸς ἑτέρας,
2 πρόκεινται δεῖγμα
3 Emb πυρὸς αἰωνίου δίκην Emb ὑπέχουσαι.
8 Sit Ὁμοίως μέντοι Top+ καὶ οὗτοι ἐνυπνιαζόμενοι Top+ σάρκα μὲν μιαίνουσιν
κυριότητα δὲ ἀθετοῦσιν
δόξας δὲ βλασφημοῦσιν.
9 Top ὁ δὲ Top Μιχαὴλ ὁ ἀρχάγγελος, Top
Sit ὅτε Emb τῷ διαβόλῳ Emb διακρινόμενος
3 διελέγετο περὶ Emb τοῦ Μωϋσέως Emb σώματος, Sit
2 οὐκ ἐτόλμησεν
3 κρίσιν ἐπενεγκεῖν Split βλασφημίας
2 ἀλλὰ εἶπεν,
Ἐπιτιμήσαι σοι κύριος.
10 Top+ οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασιν βλασφημοῦσιν,
L-Dis ὅσα δὲ Emb L-Dis φυσικῶς Emb ὡς τὰ ἄλογα ζῷα Emb ἐπίστανται, L-Dis
Top+ ἐν τούτοις Top+ φθείρονται.
11 οὐαὶ αὐτοῖς,
3 ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν
4 καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν
4 καὶ τῇ ἀντιλογίᾳ τοῦ Κόρε ἀπώλοντο.
12 Top+ οὗτοί εἰσιν οἱ Emb ἐν ταῖς ἀγάπαις ὑμῶν Emb σπιλάδες
3 συνευωχούμενοι ἀφόβως,
3 ἑαυτοὺς ποιμαίνοντες,
3 νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι,
3 δένδρα φθινοπωρινὰ ἄκαρπα
3 δὶς ἀποθανόντα

3 ἐκριζωθέντα,
3 **13** κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας,
3 ἀστέρες πλανῆται
4 οἷς Top ὁ ζόφος τοῦ σκότους Top εἰς αἰῶνα τετήρηται.
2 **14** Προεφήτευσεν δὲ Th+ καὶ τούτοις Th+ ἕβδομος ἀπὸ Ἀδὰμ App Ἑνὼχ
3 λέγων,
Ἰδοὺ ἦλθεν κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ
3 **15** ποιῆσαι κρίσιν κατὰ πάντων
3 καὶ ἐλέγξαι πᾶσαν ψυχὴν
4 περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν
5 ὧν ἠσέβησαν
4 καὶ περὶ πάντων τῶν σκληρῶν
5 ὧν ἐλάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς.
**16** Top+ Οὗτοί εἰσιν γογγυσταὶ μεμψίμοιροι
3 κατὰ τὰς ἐπιθυμίας ἑαυτῶν πορευόμενοι,
καὶ Top τὸ στόμα αὐτῶν Top λαλεῖ ὑπέρογκα,
3 θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.
**17** Top Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων
3 τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων
4 τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
2 **18** ὅτι ἔλεγον ὑμῖν
[ὅτι] Sit Ἐπ᾽ ἐσχάτου [τοῦ] χρόνου Sit ἔσονται ἐμπαῖκται
3 κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι Split τῶν ἀσεβειῶν. Split
**19** Top+ Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί,
3 πνεῦμα μὴ ἔχοντες.
**20** Top ὑμεῖς δέ, ἀγαπητοί, ἐποικοδομοῦντες ἑαυτοὺς τῇ Emb ἁγιωτάτῃ ὑμῶν πίστει,
ἐν πνεύματι ἁγίῳ προσευχόμενοι,
**21** Top ἑαυτοὺς ἐν ἀγάπῃ θεοῦ τηρήσατε
3 προσδεχόμενοι τὸ ἔλεος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
4 εἰς ζωὴν αἰώνιον.
**22** καὶ οὓς μὲν ἐλεᾶτε Split διακρινομένους,
**23** οὓς δὲ σῴζετε
3 ἐκ πυρὸς ἁρπάζοντες,
οὓς δὲ ἐλεᾶτε ἐν φόβῳ
3 μισοῦντες καὶ τὸν Emb ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον Emb χιτῶνα.
**24** Top Τῷ δὲ δυναμένῳ φυλάξαι ὑμᾶς ἀπταίστους
3 καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ Emb ἀμώμους ἐν ἀγαλλιάσει, Emb
**25** μόνῳ θεῷ σωτῆρι ἡμῶν διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν Top
2 δόξα μεγαλωσύνη κράτος καὶ ἐξουσία
3 πρὸ παντὸς τοῦ αἰῶνος καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας, ἀμήν.